UNIVERSITÄTS BIBLIOTHEK WUPPERTAL
BERGISCHE UNIVERSITÄT WUPPERTAL

Universitätsbibliothek Wuppertal

Stoicorvm vetervm fragmenta

Zeno et Zenonis discipuli

Arnim, Hans von

Lipsiae, 1905

1a. Apollophanes

Nutzungsrichtlinien Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2758

Visual Library

μάλιστα δυσχεραίνομεν, ὡς Ἀρίστων φησίν, ὅσοι τὰς περιβολὰς ἀναστέλλουσιν ἡμῶν. ὁ δὲ πολυπράγμων οὐ τὰ ἱμάτια τῶν πέλας οὐδὲ τοὺς χιτῶνας, ἀλλὰ τοὺς τοίχους ἀπαμφιέννυσι, τὰς θύρας ἀναπετάννυσι etc.

402 Plutarchus πολιτικὰ παραγγέλματα 10 p. 804e. οὔτε γὰρ πῦρ φησιν ὁ Ἀρίστων καπνὸν ποιεῖν οὔτε δόξαν φθόνον, ἣν εὐθὺς ἐκλάμψῃ καὶ ταχέως, ἀλλὰ τῶν κατὰ μικρὸν αὐξανομένων καὶ σχολαίως ἄλλον ἀλλαχόθεν ἐπιλαμβάνεσθαι.

403 Plutarchus aqua an ignis utilior 12 p. 958d. καὶ μὴν ὀλίγου χρόνου καὶ βίου τοῖς ἀνθρώποις δεδομένου ὁ μὲν Ἀρίστων φησὶν ὅτι ὁ ὕπνος οἷον τελώνης τὸ ἥμισυ ἀφαιρεῖ τούτου· ἐγὼ δ' etc.

1a. Apollophanes.

404 Diogenes Laërt. VII 140. φησὶ δὲ περὶ τοῦ κενοῦ Χρύσιππος μὲν ἐν τῷ περὶ κενοῦ καὶ ἐν τῇ πρώτῃ τῶν φυσικῶν τεχνῶν καὶ Ἀπολλοφάνης ἐν τῇ φυσικῇ (placitum vide Chrys. II n. 543).

405 Tertullianus de anima 14. *Dividitur autem in partes (scil. anima) nunc in duas a Platone — — etiam in octo penes Chrysippum, etiam in novem penes Apollophanem.*

406 Diogenes Laërt. VII 92. ὁ μὲν γὰρ Ἀπολλοφάνης μίαν λέγει (scil. ἀρετήν), τὴν φρόνησιν.

407 Fragmenta Herculanensia ed. Scott p. 271 (Pap. 19—698 Scriptor incertus περὶ αἰσθήσεως col. 15) — — χρόνοις, τὴν δ' αἴσθη|σιν τὰ καθ' ἕνα κ(ρι)νεῖν | ἢ μνήμης μεθέξειν. (ὁ δ') | Ἀπολλοφάνης, ὑπὸ τοῦ | πιθανοῦ ἀπ̣ᾳ̣τηθείς, τὸ | μὲν καὶ μνήμην αὐ|ταῖς περιάπτειν κατη|δέσθη, τὸ δ' ἀναλογίας | μετέχειν προσ(ε)δέξα|τ̣ο̣, ὅπως καὶ τοῦ μηκέ|τ' ὄντος ἀποδῷ διαίσ|θησιν αὐτ(αῖς, ὥ)σπερ ἵνα| σώσωμεν ἐνάργειαν | ἄλλας δέον ἐπ̣ιβάλλειν | ἐναργείας.

408 Athenaeus VII 281d. καὶ Ἀπολλοφάνης δὲ (γνώριμος δ' ἦν καὶ οὗτος τοῦ Ἀρίστωνος) ἐν τῷ Ἀρίστωνι, καὶ αὐτὸς οὕτως ἐπιγράψας τὸ σύγγραμμα, ἐμφανίζει τὴν τοῦ διδασκάλου φιληδονίαν.

---

2 quae de curioso dicuntur, Plutarchi sunt, non Aristonis. 23 καὶ pro ἢ exspectaveris. 27 fortasse: ἐκβάλλειν.